BISETVS. Οὐδὲν ἐστι.] ἐν ὅσῳ ὁ Κῆρυξ τοὺς Λακεδαιμονίων πρέσβεις ἀποπέμψων ἐξέρχεται, οἱ τῶν ἀνδρῶν, καὶ τῶν γυναικῶν χοροί, λοιδορίαις, καὶ σκώμμασιν ἀλλήλων καθάπτονται. τέλος μέντοι διαλλαγὰς ποιοῦνται. εἰσὶ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ τριάκοντα, ὧν ὁ τελευταῖος.

Οὐ παρασκευαζόμεθα τῶν πολιτῶν οὐδέν᾽ ὦ ᾽ν.

Αμαχώτερον.] δυσκαταμαχητότερον. πάρδαλις δὲ, τὸ ζῶον. ἀρσενικῶς λέγεται πάρδος καὶ πάνθηρ. ξυνιεῖς δὲ, ξυνίης, καταμανθάνεις, κατανοεῖς. Επειτα πολεμεῖς.] εἶτα, εἴτε ἔπειτα ἐπίρρημα χρόνου δηλωτικόν, μετὰ ταῦτα. ἐνίοτε δὲ, ἐρωτηματικόν ἐστι μόριον μετ᾽ ἀγανακτήσεως, ὡς ἐνταῦθα. οὕτως καὶ παρὰ Ξενοφῶντι, Επειτ᾽ οὐκ οἴει φροντίζειν τοὺς θεοὺς τῶν ἀνθρώπων; ὁ δ᾽ Ομηρος, ὡς Σουΐδας μαρτυρεῖ, ἀντὶ τοῦ δὴ κέχρηται τῷ ἔπειτα, ἐν τῷδε

Αὐτὰρ ἔπειτ᾽ Αἴας τε μέγας, καὶ δῖος Οδυσσεύς.

οὐκ ἔστι, φησί, μετὰ ταῦτα, ἅμα γὰρ ἀφῆκεν, ὁ μὲν τὸν οἰστόν. ὁ δὲ, τὸ δόρυ. Οὔ σε περιόψομαι.] οὔ σε περιείσω, καταφρονήσω. Καὶ ταύτην ἀπέδυν.] ταύτην, ἐξωμίδα δηλαδή, οὕτω γὰρ καὶ τῆς ἐννοίας, καὶ τοῦ μέτρου χάριν γραπτέον, καὶ οὐκ, ὡς ἐν ἀντιγράφοις, τοῦτο. Τοὐπὶ τῷ ὀφθαλμῷ.] τὸ πλῆρες, τὸ ἐπὶ τῷ ὀφθαλμῷ. ὃ νῦν ἔνι, ὃ νῦν ἔνεστι. ὁ νοῦς καὶ σύνταξις τοιαύτη. ἐγὼ λαβοῦσα τόδε τὸ θηρίον, τὸ δηλαδὴ ὃ ἔνεστιν ἐπὶ τῷ ὀφθαλμῷ ἐξελῶ. Εκσάλευσον] ἐκκίνησον, ἔξελκε κινήσας, ἔξωθει.

CHR. Ω πονηρὲ σύ.] Malim σοι, sed ἔχειν legendum esset vt & legitur in Veneta editione. Paulò pòst lego νυνὶ δ᾽ οὔ σε περιόψομαι & mox pro τοῦτ᾽ ἀπέδυν legere τόδ᾽. Κἂν μή με] Lege κἂν με μὴ λυπῇς, vel potius κἂν με μὴ λύπεις, pro μὴ ἐλύπεις, nisi molestus fuisses mihi. Τοῦτ᾽ ἄρ᾽ ἦν τοὐπιτρίβον] Lege τοῦτ᾽ ἄρ᾽ ἦν μοι τοὐπιτρίβον &c. propter metrum, sed & adderem μ᾽ ὃ vt sit τὸ ἐπιτρίβον με. est autem ἐκσάλευσον, ἐξένεγκον. Mox pro δύσκολος γ᾽ ἔφυσ᾽ ἀνὴρ lego δύσκολος ἔφυς ἀνήρ. Sic certè postulat mensura pedum.

| | |
|---|---|
| Η μέγ᾽ ὦ Ζεῦ χρῆμ᾽ ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι. | C *Iuppiter, quàm magna res est qui tibi inerat culex,* |
| Οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία; | *Non vides? non hæc rogo est tipulla Tricorysia?* |
| Χο.αν. Νὴ Δί᾽ ὤνησάς γέ μ᾽ ὡς πάλαι γέ μ᾽ ἐφρεώρυχει. | *CH.S. Per Iouem multùm fuisti commoda mihi adiuua.* |
| Ως ἐπειδὴ ᾽ξῃρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ. | *Iamdiu me lancinabat, nunc lacrymor adfatim.* |
| Χο.γυν. Αλλ᾽ ἀποψήσω σ᾽ ἐγώ. καίτοι γε πάνυ πονηρὸς εἶ. | D *CH.M. At te ego abstergam, licet sis vir malus & improbus,* |
| Καὶ φιλήσω. Χο.αν. μὴ φιλήσῃς. Χο.γυν. ἤν τε βούλῃ γ᾽ ἤν τε μή. | *Quin & osculabor. CH.S. auffer oscula. CH.M. imò ingratijs.* |
| Χο.αν. Αλλὰ μὴ ὥρασιν ἵκοισθ᾽. ὡς ἐστὲ θωπικαὶ φύσει | *CH.S. Ne venite, namque noui vos adulanti nimis* |
| Κἄστ᾽ ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον. | *Esse natura, & benè illud dicitur vulgarium,* |
| Οὔτε ξὺν πανωλέθροισιν οὐδ᾽ ἄνευ πανωλέθρων. | *Nec simul cum pessimis sis, sed nec absque pessimis.* |
| Χο.γυν. Αλλὰ νυνὶ σπένδομαί σοι τὸ λοιπὸν οὐκέτι | E *Nunc libens tecum paciscor fœderatus, nec malum* |
| Οὔτε δράσω φλαῦρον οὐδὲν οὐδ᾽ ὑφ᾽ ὑμῶν πείσομαι. | *Postmodum vobis creare, nec pati à vobis volo.* |
| Αλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα. | *Nunc in vnum nos coacti age insecemus canticum.* |
| Οὐ παρασκευαζόμεθα τῶν πολιτῶν οὐδέν᾽ ὦ ᾽ν- | *CH. MVL. Neminem, ô viri, paramus ciuitatis lædere* |
| Δρες φλαῦρον εἰπεῖν οὐδέν. | *Oratione vel re* |
| Αλλὰ πολὺ τοὔμπαλιν | F *Sed potius oppidò* |
| Πάντ᾽ ἀγαθὰ καὶ λέγειν | *Omnimoda dicere, &* |
| Καὶ δρᾶν. ἱκανὰ γὰρ τὰ κακὰ | *Patrare bona, præteriti* |
| Καὶ τὰ παρακείμενα. | *Quippe satis est mali:* |
| Αλλ᾽ ἐπαγγελλέτω | *Sed vir & fœmina* |
| Πᾶς ἀνὴρ καὶ γυνὴ | *Omnis hic imperet:* |
| Εἴ τις ἀργυρίδιον | *Si quis sumere velit* |
| Δεῖται λαβεῖν μνᾶς ἢ δύ᾽ ἢ | *Argentum egenus, binas minas* |
| Τρεῖς. ὡς πόλλ᾽ ἔσω ᾽στιν, | G *Aut tres, plurimi intus* |
| Κἄχομεν βαλάντια. | *Quos habemus sacculi.* |
| Κἂν ποτ᾽ εἰρήνη φανῇ | *Sin resurgat alma Pax* |

BISETVS. Εμπὶς Τρικορυσία.] ὡς ἐν Τρικορύθῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης,

καὶ